## ΦΡΥΝΙΧΟΣ: ΕΚΛΟΓΑΙ ΡΗΜΑΤΩΝ ΚΑΙ ΟΝΟΜΑΤΩΝ ΑΤΤΙΚΩΝ

Ὅστις ἀρχαίως καὶ δοκίμως ἐθέλει διαλέγεσθαι, τάδε αὐτῷ φυλακτέα.

### ΦΩΝΟΛΟΓΙΑ

***Αλλαγή φωνηέντων: υ ~ οι***

268. Ψύα· οἱ μὲν ἁπλῶς ἁμαρτάνοντες διὰ τοῦ υ, οἱ δὲ διπλῇ ἁμαρτάνοντες ψοία· ἔστι δὲ καὶ τὸ ὄνομα πολὺ κίβδηλον. νεφρὸν οὖν λέγε.

***Αλλαγή φωνηέντων: η ~ ι***

298. Νήστης βάρβαρον, τὸ δὲ ἀρχαῖον νῆστις διὰ τοῦ ι.

***Συναίρεση φωνηέντων***

192. Ῥέει, ζέει, πλέει· Ἰακὰ ταῦτα διαιρούμενα. λέγε οὖν ῥεῖ, ζεῖ, πλεῖ.

340. Ἐδέετο, ἐπλέετο· Ἰακὰ ταῦτα. ἡ δὲ Ἀττικὴ συνήθεια συναιρεῖ· ἐδεῖτο, ἐπλεῖτο.

***Αλλαγή συμφώνων***

290. Κρύβεται φεῦγε διὰ τοῦ β λέγειν καὶ κρύβεσθαι, ἀλλά διὰ τοῦ πτ κρύπτεται καὶ κρύπτεσθαι φαθί.

### ΜΟΡΦΟΛΟΓΙΑ

***Αμφιβολίες σχετικά με την κλίση ανωμάλων ονομάτων, επιθέτων και ρημάτων***

127. Ἡρακλέα, Περικλέα, Θεμιστοκλέα ἐπεκτείνων τὴν ἐσχάτην λέγε, ἀλλὰ μὴ Ἡρακλῆν καὶ Περικλῆν καὶ Θεμιστοκλῆν.

140. Αἱ νῆες ἐρεῖς, οὐχ αἱ ναῦς· σόλοικον γάρ. [...] τὰς νῆας οὐκ ἐρεῖς, ἀλλὰ τὰς ναῦς.

182. Ὤτοις μὴ λέγε, ὥς τινες τῶν γραμματικῶν, ἀλλ' ὠσίν.

118. Ἦς ἐν ἀγορὰ σόλοικον, λέγε οὖν ἦσθα.

123. Ἤμην· εἰ καὶ εὑρίσκεται παρὰ τοῖς ἀρχαίοις, οὐκ ἐρεῖς, ἀλλ' ἦν ἐγώ.

***Αμφιβολίες σχετικά με τον σχηματισμό παραθετικών***

52. Τάχιον Ἕλληνες οὐ λέγουσιν, θᾶττον δέ.

Καιν. Διαθ. Κατά Ιωάννην 13.27 Ὃ ποιεῖς ποίησον τάχιον.

105. Ἔσχατον χρὴ λέγειν, οὐχὶ ἐσχατώτατον, εἰ καὶ μάρτυρα παρέχοι τις.

264. Ἔγγιον ἐπὶ τοῦ ἐγγύτερον μὴ λέγε, ἀλλ' ἐγγύτερον. ἐπὶ δὲ τοῦ ἐν τῇ γῇ, οἷον „ἔγγειον κτῆμα", εἴ τις χρῷτο, ἄριστα ἂν χρήσαιτο, ὡς καὶ Δημοσθένης ([Dem.] 34, 24) „ἔγγειον τόκον" λέγει.

382. Ῥαότερον μή, ῥᾷον δὲ λέγε· συγκριτικόν γὰρ συγκριτικοῦ οὐκ ἔστιν, οἷον εἴ τις λέγοι κρεισσότερον.

***Αμφιβολίες σχετικά με την αύξηση***

19. Περιέσσευσεν ἀλλοκοτέρως· ἐχρῆν γὰρ ἐπερίσσευσε λέγειν.

***Σχηματισμός καινούργιων ρηματικών τύπων***

313. Ἔμελλον ποιῆσαι, ἔμελλον θεῖναι· ἁμάρτημα τῶν ἐσχάτων εἴ τις οὕτω συντάττει· τετήρηται γὰρ ἢ τῷ ἐνεστῶτι συνταττόμενον ἢ τῷ μέλλοντι, οἷον „ἔμελλον ποιεῖν", „ἔμελλον ποιήσειν"· τὰ δὲ συντελικὰ οὐδένα τρόπον ἁρμόσει τῷ ἔμελλον.

347. Ἔμελλον γράψαι· ἐσχάτως βάρβαρος ἡ σύνταξις αὕτη - ἀορίστῳ γὰρ χρόνῳ τὸ ἔμελλον οὐ συντάττουσιν οἱ Ἀθηναῖοι, ἀλλ' ἤτοι ἐνεστῶτι, οἷον „ἔμελλον γράφειν", ἢ μέλλοντι, οἷον „ἔμελλον γράψειν".

**ΣΥΝΤΑΞΗ**

100. Κληρονομεῖν τόνδε· οὐχ οὕτως ἡ ἀρχαία χρῆσις, ἀλλὰ κληρονομεῖν τοῦδε.

**ΣΧΗΜΑΤΙΣΜΟΣ ΛΕΞΕΩΝ**

58. Προκόπτειν λέγουσιν, τὸ δὲ ὄνομα προκοπὴ οὐκ ἔστι παρ' αὐτοῖς.

Καιν. Διαθ. Προς Φιλ. 1.12 Γινώσκειν δὲ ὑμᾶς βούλομαι, ἀδελφοί, ὅτι τὰ κατ᾽ ἐμὲ μᾶλλον εἰς προκοπὴν τοῦ εὐαγγελίου ἐλήλυθεν.

220. Κατορθώματα· ἁμαρτάνουσι κἀνταῦθα οἱ ῥήτορες, οὐκ εἰδότες ὅτι τὸ μὲν ῥῆμα δόκιμον, τὸ κατορθῶσαι, τὸ δ' ἀπό τούτου ὄνομα ἀδόκιμον, τὸ κατόρθωμα. λέγειν οὖν χρὴ ἀνδραγαθήματα.

**ΛΕΞΙΛΟΓΙΟ**

10. Εὐχαριστεῖν οὐδεὶς τῶν δοκίμων εἶπεν, ἀλλὰ χάριν εἰδέναι.

Καιν. Διαθ. Κατά Ιωάννην 11.41 Πάτερ, εὐχαριστῶ σοι ὅτι ἤκουσάς μου.

27. Νηρὸν ὕδωρ μηδαμῶς, ἀλλὰ πρόσφατον, ἀκραιφνές.

53. Κόριον ἢ κορίδιον ἢ κορίσκη λέγουσιν, τὸ δὲ κοράσιον παράλογον.

Καιν. Διαθ. Κατά Μαθθαίον 9.24 οὐ γὰρ ἀπέθανεν τὸ κοράσιον ἀλλὰ καθεύδει

89. Αὐθέντης μηδέποτε χρήσῃ ἐπὶ τοῦ δεσπότου, ὡς οἱ περὶ τὰ δικαστήρια ῥήτορες, ἀλλ' ἐπὶ τοῦ αὐτόχειρος φονέως.

93. Ἀκμὴν ἀντὶ τοῦ ἔτι· Ξενοφῶντα λέγουσιν ἅπαξ (An. 4, 3, 26) αὐτῷ κεχρῆσθαι, σὺ δὲ φυλάττου χρῆσθαι, λέγε δὲ ἔτι.

198. Σικχαίνομαι· τῷ ὄντι ναυτίας ἄξιον τοὔνομα. ἀλλ' ἐρεῖς βδελύττομαι ὡς Ἀθηναῖος.

230. Ἀντίρρησιν μὴ λέγε, ἀντιλογίαν δέ.

247. Πάλι· οὕτω λέγουσιν οἱ νῦν ῥήτορες καὶ ποιηταί, δέον μετὰ τοῦ ν πάλιν, ὡς οἱ ἀρχαῖοι λέγουσιν.

255. Βρέχει ἐπὶ τοῦ ὕει· [...] νόθον ἐστίν, παντελῶς ἀποδοκιμαστέον τοὔνομα.

Καιν. Διαθ. Κατά Μαθθαίον 5, 45 βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους.

300. Φάγομαι βάρβαρον· λέγε οὖν ἔδομαι, τοῦτο γὰρ Ἀττικόν.

Καιν. Διαθ. Κατά Μαθθαίον 6. 25 μὴ μεριμνᾶτε τῇ ψυχῇ ὑμῶν τὶ φάγητε, μηδὲ τῷ σώματι ὑμῶν τί ἐνδύσησθε.
Καιν. Διαθ. Κατά Μαθθαίον 26.26 Λάβετε φάγετε, τοῦτό ἐστιν τὸ σῶμά μου.

322. Ἐργοδότης οὐ κεῖται, τὸ δὲ ἐργοδοτεῖν παρά τινι τῶν νεωτέρων κωμῳδῶν (Apollod. fr. 20 K.), οἷς καὶ αὐτοῖς οὐ πειστέον.

369. Ἐσχάτως ἔχει· ἐπὶ τοῦ μοχθηρῶς ἔχει καὶ σφαλερῶς τάττουσιν οἱ σύρφακες. ἡ δὲ τοῦ ἐσχάτως χρῆσις, οἶσθα, ἐπὶ τοῦ ἄκρου παρὰ τοῖς ἀρχαίοις νομίζεται, „ἐσχάτως πονηρός", „ἐσχάτως φιλόσοφος". διαγραπτέον οὖν καὶ τοῦτο.

Καιν. Διαθ. Κατά Μάρκον 5.23 Τὸ θυγάτριόν μου ἐσχάτως ἔχει

***Λέξεις ξένης προέλευσης***

41. Σκίμπους λέγε, ἀλλὰ μὴ κράββατος· μιαρὸν γάρ.

Καιν. Διαθ. Κατά Μάρκον 2.9 Ἔγειρε καὶ ἆρον τὸν κράβαττόν σου καὶ περιπάτει

270. Πάπυρος· τοπάσειεν ἄν τις Αἰγύπτιον εἶναι τοὔνομα· πολὺ γὰρ κατ' Αἴγυπτον πλάζεται. ἡμεῖς δὲ βίβλον ἐροῦμεν.